Οἱ πολλοὶ τῶν χριστιανῶν, εἴτε τὸ σχῆμα φοροῦντες τῶν μοναχῶν, εἴτε κατὰ κόσμον διάγοντες εὐσεβεῖς, νομίζουσιν ὄφελος ἔχειν ψυχικὸν ὅταν ᾄδωσι τοὺς δαυιτικοὺς ψαλμοὺς καὶ τὰ λοιπὰ ᾄσματα ἐκ τοῦ μόνον αὐτὰ λέγειν ἁπλῶς καὶ οὕτως οἴονται δοξάζειν τὸν Θεόν, ἀγνοοῦντες ὅτι τοῦτον μὲν παροξύνουσιν, αὐτοὶ δὲ οὐδὲν ὠφελοῦνται, μεγάλως ἐντεῦθεν ἁμαρτάνοντες. Λόγος γὰρ ἅπας πράγματός ἐστι λόγος, οὐχ' ἁπλῶς λόγος μόνον· εἴ τις γὰρ πεινᾷ καὶ διψᾷ ἢ γυμνητεύει, ἐὰν αἰτήσῃ ἄρτον καὶ οἶνον καὶ ἱμάτιον, f.16v ἆρα ἀρκεῖται τὸ μόνον εἰπεῖν; Ἢ ἐὰν μὴ λάβῃ, αὐτὸς μὲν πεινῶν καὶ διψῶν ἔτι μένει καὶ γυμνός, ὁ δὲ λόγος αὐτὸν οὐδὲν ὠφέλησεν, οὕτω δὴ καὶ ἐπὶ τῶν ᾀσμάτων ἁπάντων· τὰ γὰρ ψαλλόμενα ἢ αἰτήσεις εἰσίν, ἢ εὐχαριστίαι τῶν λαμβανόντων τὰς αἰτήσεις.

Ὁ λέγων οὖν πρὸς τὸν Θεόν· *«Ἐλθέτω ἡ βασιλεία σου»*[1], ἐὰν μὴ τὸν τρόπον τῆς βασιλείας μάθοι, πῶς ἐκείνη ἐλεύσεται; Εἰ δὲ καὶ μάθοι μὲν τὸν τρόπον ὃν ἐκείνη ἔρχεται, αὐτὸς δὲ ὁ καλῶν αὐτὴν καὶ ὑπὲρ αὐτῆς δεόμενος ὑπ' αὐτῆς οὐκ ἐβασιλεύθη, ποῖον τὸ κέρδος ἐκ τοῦ λέγειν· *«Ἐλθέτω ἡ βασιλεία σου»*; Φησὶ γὰρ ὁ Κύριος ἐν εὐαγγελίοις· *«Μετανοεῖτε· ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ»*[2]. Ποῦ οὖν ἀπῆλθεν ὁ πάντα ἐκ μὴ ὄντων παραγαγὼν Θεὸς καὶ τὰ πάντα πληρῶν καὶ πανταχοῦ ὢν[3] καὶ πάντων βασιλεύων, καὶ

[1] Mat. 6, 10. Oratio «Πάτερ ἡμῶν». [2] Cf. Mat. 4, 17. [3] Cf. «ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν» (oratio «Βασιλεῦ Οὐράνιε»).

**1–5** *Tutulus secundum B, C, non legitur in A.* | οἶδε ] εἶδε M || **3** λαμβάνωσιν C G : λανβάνουσιν B || **4** ῥισθῆναι B || **5** γίνεται ἡ ἀνάστασις ∼ C | ἡ > M || **6** + Λόγος λβ´:λε´ *in marg.* C | εἴτε ] οἵ τε C D G M || **7** εὐσευεῖς B || **8** δαβιτικοὺς B M || **9** οἴονται ] *in marg.* B || **10** παροξύνουσιν ] M : παρω... *cet.* | ὀφελοῦνται D | μεγάλως ἐντεῦθεν ἁμαρτάνοντες > D || **12** ἢ ] καὶ M | γυμνιτεύει M | αἰτήσει B : ἐτήσῃ A || **13** λάβοι M || **14** οὐδὲν αὐτὸν ∼ $M^{ac}$ | αὐτὸν ] αὐτὸς B | τῶν > M || **15** εὐχαριστίαι ] C G M : ...είαι *cet.* || **16** λανβανόντων B || **18** μάθῃ M || **19** ἔρχηται C || **20** τὸ > B || **23** πληρῶν ] ἐκπληρῶν D

## Слово 4.

**О том, что всякий просящий, если не знает, о чем просит, просит напрасно. Если же и знает, что просит, но не сможет получить того, о чем просит, то не будет ему никакой пользы. Что такое Царство Божие и как христиане получают его. Кто такой лукавый и как можно освободиться от рабства лукавому. И каким образом и при помощи каких дел совершается воскресение души.**

Большинство христиан, как носящих монашеский образ, так и благочестиво живущих в миру, считают, что получают душевную пользу, когда поют давидовы псалмы и прочие песнопения, уже только от того, что просто их произносят, и они думают так прославлять Бога, не зная, что [на самом деле] они раздражают Его, сами же не получают никакой пользы и потому сильно согрешают. Ведь всякое слово — это не только лишь слово, но слово, [говорящее о] деле. Например, если кто-то голоден, жаждет или не имеет одежды, то когда попросит он хлеба, вина или одежды, разве достаточно ему лишь [что-то] сказать? И когда он ничего не получит, сам останется и алчущим, и жаждущим, и нагим, а от слов нет ему никакой пользы, точно так же случается и со всеми песнопениями. Ведь то, что поется, — или прошения, или благодарения получающих просимое.

Если тот, кто говорит Богу: «*Да приидет Царствие Твое*»[1], не узнает характер этого Царствия, то как оно придет? Но если и узнает, как оно приходит, но, хотя и призывает его и просит о нем, оно не воцарилось над ним, что за польза ему говорить: «*Да приидет Царствие Твое*»? Вот Господь говорит в Евангелиях: «*Покайтесь, приблизилось Царствие Божие*»[2]. Итак, куда же отошел Бог, произведший все из ничего, *вся исполняяй и везде Сый*[3] и царствующий над все-

[1] Мф. 6, 10. Молитва «Отче наш». [2] Ср. Мф. 4, 17. [3] Ср. Молитва «Царю Небесный»

νῦν ἐγγίζει ἡμῖν ἡ βασιλεία αὐτοῦ; Ἄρα εἰ μὴ ἀνεχώρησεν καὶ νῦν ὑπέστρεψεν, οὐκ ἂν εἶπεν ὅτι ἤγγικεν· οὐκ ἀνεχώρησεν οὖν ἐκεῖνος, ἀλλ᾽ ἡμεῖς ἀπεσχίσαμεν ἑαυτοὺς ἀπ᾽ αὐτοῦ, ἡνωμένος γὰρ ἦν ἡμῖν ἀπ᾽ αὐτῆς τῆς πρώτης πλάσεως τοῦ Ἀδάμ· ὡς ἐπλανήθη δὲ καὶ ἐποίησε τὸ πονηρὸν ὁ πρωτόπλαστος, διέστη ἀφ᾽ ἡμῶν ἡ βασιλεία τοῦ Θεοῦ, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ. Ἀδύνατον γὰρ τὸν ἅγιον καὶ ἀγαθὸν Θεὸν πονηρίᾳ μίγνυσθαι, ὡς δὲ ἀδύνατον ἦν ἡμᾶς ἀγαθοὺς ὑφ᾽ ἑαυτῶν πάλιν γενέσθαι, ὥσπερ καὶ ῥάκος βορβόρῳ κεκυλισμένον καὶ σήψει ἀδύνατον ὑφ᾽ ἑαυτοῦ πλύνεσθαι καὶ ἄνευ ὕδατος. Διὰ τοῦτο ἦλθεν αὐτὸς πάλιν ὁ δυνάμενος ἡμᾶς ἀποπλῦναι, ἵνα πρῶτον πλύνῃ ἡμᾶς δι᾽ ὕδατος, κεράσας τὸ ὕδωρ Πνεύματι Ἁγίῳ· καὶ τότε βασιλεύσῃ ἐπὶ καθαροὺς ὁ καθαρός, ὅπως βασιλεύων ἐφ᾽ ἡμᾶς αὐτὸς f.17 ἐνεργεῖ δι᾽ ἡμῶν τὰ θελήματα αὐτοῦ. Εἰ μὴ γὰρ ἡμῶν αὐτὸς βασιλεύει, ἀμήχανον τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ δι᾽ ἡμῶν τελεῖσθαι.

Ὅστις οὖν οὐ πρότερον ὑπὸ Θεοῦ ἐβασιλεύθη καὶ νοερᾷ αἰσθήσει νοερῶς αἰσθάνεται ποιοῦντος ἐν αὐτῷ τοῦ Θεοῦ τὸ θέλημα αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, εἰς κενὸν κοπιᾷ καὶ εἰς κενὸν ζῇ· βασιλεύεται ἔτι ὑπὸ τοῦ ἀπατεῶνος καὶ οὐκ αἰσθάνεται. Εἰ μὴ γὰρ λάβῃ νοερὰ ψυχὴ νοητὴν αἴσθησιν τῆς βασιλείας τοῦ Θεοῦ ἁψαμένης αὐτῆς, οὐκ ἔστι σωτηρίας ἐλπίς. Εἰδέναι δὲ χρὴ τὴν βασιλευομένην λογικὴν ψυχὴν τῆς βασιλευούσης θεότητος τὰς χάριτας καὶ ἐνεργείας τοῦ Ἁγίου Πνεύματος· ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν[1], καὶ τὰ ἑξῆς. Ὅπου γὰρ βασιλεύει ὁ Θεός, ἐκεῖ δουλεία τοῦ διαβόλου οὐκ ἐνεργεῖται, ἀλλὰ πᾶσα ἡ ὑπηρεσία τοῦ Θεοῦ ἐστιν.

Οἱ λέγοντες πάλιν πρὸς τὸν Θεὸν ὅτι *«ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ»*[2], ἐὰν μὴ γινώσκωσι τίς ἐστιν ὁ πονηρὸς καὶ πῶς κατέχονται ὑπὸ τοῦ πονηροῦ, καὶ τίνα τὰ ἐκείνου δεσμά, καὶ τίς ἡ κατὰ τῶν κρατουμένων ὑπ᾽ αὐτοῦ ἐξουσία αὐτοῦ, πῶς αὐτοὺς ὁ Θεὸς ῥύσεται; Εἰ δὲ καὶ ταῦτα μὲν οἴδασιν,

[1] Cf. Gal. 5, 22. [2] Mat. 6, 13. Oratio «Πάτερ ἡμῶν».

**24** ἐγγίζει ἡμῖν > $\mathrm{C}^{pc}$ (*cancel.* C) M | Ἄρα ] $\mathrm{C}^{pc}$ M : Ἆρα *cet.* | ἀνεχώρησεν ] ἀνεχώρησε C || **25** ἀνεχώρησεν ] ἂν ἐχώρησεν G || **26** πρώτης > M || **28** δι᾽ ἔστη M || **29** μύγνυσθαι D || **30–31** ῥάκος ] *post corr.* C || **31** καικυλισμένον B || **33** πλύνει B | τὸ ] τῷ A C || **34** βασιλεύσει B || **35** τὰ θελήματα ] τὸ θέλημα G | βασιλεύῃ M || **37** νοερὰ A B D G || **39–40** ἀπαταιῶνος B || **40** ἐσθάνεται B | λάβοι M || **44** βασιλέβει B || **45** οὐκ ἐνεργεῖται ] οὐκαινεργεῖται B | ἡ > C | ἐστιν ] $\mathrm{G}^{mg}$ : ἐνεργεῖται $\mathrm{G}^{ac}$ || **47** κατέχωνται C

ми, так что приблизилось сейчас Царствие Его? Ведь если бы Он не удалился [прежде], а сейчас [не] возвратился, не сказал бы, что оно приблизилось. Конечно же, не Он удалился от нас, а мы сами отделились от Него, потому что Он был соединен с нами с самого первого сотворения Адама. Но поскольку первозданный [человек] впал в заблуждение и сотворил лукавое, отступило от нас Царствие Божие, которое есть Святый Дух Божий, потому что невозможно святому и благому Богу соединиться с лукавством, как и нам невозможно было опять самостоятельно стать добрыми подобно тому, как лохмотьям, валяющимся в грязи и гнили, невозможно отстираться самостоятельно и без воды. Для того пришел Сам, Могущий вновь нас отмыть, чтобы омыть нас сначала водой, смешав воду с Духом Святым, и после этого царствовать Ему, Чистому, над чистыми, чтобы, царствуя над нами, Он сам совершал через нас Свою волю. Потому что, если Он не царствует над нами, то невозможно нам самим по себе творить угодное пред Ним.

Итак всякий, над кем не воцарился Бог, и кто не ощущает разумно разумным чувством, что Бог совершает в нем Свою волю через Иисуса Христа, напрасно трудится и напрасно живет, еще подвластен он обманщику и не чувствует этого. Потому что если не получит разумная душа умного ощущения, что коснулось ее Царствие Божие, то нет надежды на спасение. Но подвластная разумная душа должна знать дары царствующего [над ней] Божества и действия Святого Духа: любовь, радость, мир, долготерпение[1] и прочее. Потому что где царствует Бог, там не действует рабство диаволу, но [совершается] всякое служение Богу.

Далее, если говорящие: «*Избавь нас от лукавого*»[2] не узнают, кто такой лукавый и как они одержимы лукавым, каковы его узы и какова его власть над одержимыми им, то как их освободит Бог? Если же и знают это, но не были избавлены от лукавого, какая польза для них по-

[1] Ср. Гал. 5, 22. [2] Мф. 6, 13. Молитва «Отче наш».

οὐκ ἐρύσθησαν δὲ ἀπὸ τοῦ πονηροῦ, τί τὸ κέρδος ἐκ τοῦ λέγειν διηνεκῶς· *«Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ»*; Πονηρὸς γάρ ἐστιν ὁ τὸν νόμον τῆς ἁμαρτίας ἐν τῇ φύσει τῶν ἀνθρώπων ἐμφύρας διάβολος· ἕως ἂν δὲ διὰ τῶν πονηρῶν πράξεων αὐτῷ δουλεύωμεν, οὐκ ἔστιν ἡμῖν ὁ ἀγαθὸς μερίς, οὐδὲ τῆς βασιλείας τοῦ Θεοῦ ἐσμὲν ἄξιοι ὡς ψευδῶς Θεὸν καὶ πατέρα αὐτὸν ὀνομάζοντες, ἀλλὰ τὸν διάβολον ἔχομεν ἄρχοντα καὶ πατέρα καὶ κύριον καὶ θεόν, οὗ καὶ τοὺς χαρακτῆρας ἐν ἑαυτοῖς διὰ τῶν ἔργων τοῦ ἡμετέρου βίου φέρομεν, καθά που λέγει πρὸς ἰουδαίους ὁ Κύριος· *«Ὑμεῖς ἐκ τοῦ πατρὸς* f.17v *ὑμῶν τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν»*[1] καί· *«Ὧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται»*[2]. Ὡς γὰρ πᾶς υἱὸς ὅμοιός ἐστι τῷ πατρί, ὅτι καὶ υἱὸς οὐκ ἔστιν εἰ μὴ ἐκ φύσεως τοῦ πατρὸς αὐτοῦ, οὕτω δεῖ καὶ τὸν χριστιανὸν ὁμοίωσιν ἔχειν τοῦ Πατρὸς αὐτοῦ Χριστοῦ διὰ τῶν ἀρετῶν τοῦ πνεύματος καὶ μὴ ὁμοίωσιν τοῦ πονηροῦ διὰ τῶν παθῶν τῆς ἁμαρτίας.

Χρὴ οὖν ἐν γνώσει γενέσθαι τῆς τοῦ πονηροῦ τυραννίδος καὶ πῶς μετὰ δόλου τυραννεῖ, καὶ τίς ὁ τρόπος τῆς καταλύσεως τῆς αὐτοῦ τυραννίδος, ἵνα τὴν βασιλείαν τοῦ Χριστοῦ διδαχθέντες καὶ ἐπιγνόντες, ζητήσωμεν αὐτὴν ἐν ἀληθείᾳ ἐλθεῖν καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῶν δεσμῶν τῶν παθῶν καὶ τῆς δουλείας τοῦ πονηροῦ, ἥτις ἐπὶ μόνους ἔρχεται τοὺς ἐπιγνώμονας αὐτῆς. Καὶ ἐπειδ' ἂν βασιλεύσῃ ἐπ' αὐτούς, ποιεῖ τοὺς βασιλευομένους ὑπ' αὐτῆς συμπολίτας τῶν ἀγγέλων. Ἐγένετο γὰρ ἐκ τῆς παρακοῆς τοῦ πρώτου ἀνθρώπου κατάρα τῷ γένει τῶν ἀνθρώπων, ἐκ τῆς κατάρας φθορά, ἐκ τῆς φθορᾶς θάνατος· ἐκ τῆς ὑπακοῆς τοῦ δευτέρου ἀνθρώπου Χριστοῦ ἀντεισήχθη εὐλογία, ἐκ τῆς εὐλογίας ἀφθαρσία, ἐκ τῆς ἀφθαρσίας ἀθανασία, ἐκ τῆς ἀθανασίας ζωή, ὥσπερ πάλιν πρώην ἡ ζωὴ ἐκ Θεοῦ. Ὅπου Θεός, πέφευγεν ὁ διάβολος καὶ οἱ δαίμονες· οὕτως ἡ ἐλευθερία ἐκ τοῦ πονηροῦ καὶ τῶν δαιμόνων αὐτοῦ καὶ ἡ λύτρωσις τῷ γένει τῶν ἀνθρώπων διὰ Ἰησοῦ Χρι-

[1] Joan. 8, 44. [2] Cf. 2 Pet. 2, 19.

**50** οὐκ ἐρύσθησαν ] οὐκαιρίσθησαν B | ἐῤῥύσθησαν G M || **51** *gl. altera manu* Τίς ὁ πονηρός. A$^{mg}$ || **52** τῶν ἀνθρώπων φύσει ~ M || **55** ἔχωμεν G || **56** αὐτοῖς M || **57** φέρωμεν A C D G | τοὺς [ ἰουδαίους + D || **58** θέλεται D || **59** τοῦτο B || **61** ὁμοίωσιν ] ὁμοίωμα G | τοῦ [ Χριστοῦ + M || **65** αὐτοῦ ] αὐτῆς D || **66** ἐπιγνῶντες G M || **69** ἐπιδ' ἂν B : ἐπειδὰν M | βασιλεύσει B || **74** Ὅπου + γὰρ M | πέφυγεν M

стоянного повторять: «*Но избавь нас от лукавого*»? Ведь лукавый — это примешавший к человеческой природе закон греха диавол. И до тех пор, пока мы находимся в рабстве ему через лукавые дела, нет для нас благой части, и недостойны мы Царствия Божия, потому что лживо называем [Бога] Богом и отцом, но для нас и начальник, и отец, и господин, и бог — диавол, свойства которого мы носим в себе по делам нашей жизни, как говорит иудеям Господь: «*Ваш отец диавол; и вы хотите исполнять похоти отца вашего*»[1] и «*кто кем побежден, тот тому и раб*»[2]. Ведь как всякий сын подобен своему отцу, поскольку нет сына, не происходящего из естества отца, так и христианину следует быть подобным своему отцу Христу через духовные добродетели, а не подобным диаволу через греховные страсти.

Итак нужно узнать о тирании лукавого, как коварно он властвует, и какой есть способ освободиться от его тирании, чтобы узнав о Царстве Христовом и познав его, взыскать нам его истинного пришествия и нашего избавления от оков страстей и рабства лукавому; а приходит оно только к познавшим его. И когда оно воцаряется над ними, то делает подвластных ему согражданами ангелов. Потому что из-за преслушания первого человека пришла клятва на человеческий род, из-за клятвы — тление, из-за тления — смерть. Из-за послушания второго Человека, Христа, вместо нее пришло благословение, от благословения — нетление, от нетления — бессмертие, от бессмертия — жизнь, как и прежде жизнь произошла от Бога. Где Бог, там бегут диавол и демоны: такова свобода от диавола и его демонов и избавление человеческому роду через Иисуса Христа. Но прежде свободы никто пусть не считает себя человеком, потому что лучше бы ему и не родиться[3].

[1] Ин. 8, 44. [2] Ср. 2 Пет. 2, 19. [3] Ср. Мк. 14, 21.

στοῦ. Πρὸ δὲ τῆς ἐλευθερίας μηδεὶς ἑαυτὸν οἰέσθω ἄνθρωπον εἶναι· καλὸν γὰρ αὐτῷ μᾶλλον, εἰ μὴ δὲ ἐγεννήθη[1].

Δύο δέ εἰσιν ἐν τοῖς μὴ εἰδόσι τί τὸν Θεὸν αἰτοῦσιν· ἢ ἄγνοια, ἢ ἀναισθησία. Καὶ ὁ μὲν ἀγνοῶν οὐκ οἶδε τί λέγει, ὁ δὲ ἀναίσθητος οὐκ οἶδε τί αἰτεῖται. Τίς δὲ τῶν ἀρχόντων τῷ αἰτοῦντι μὲν ἔλεος, ἀγνοοῦντι δὲ τὸ εἰς αὐτὸν γινόμενον ἔλεος ἢ ἀναισθήτῳ ὄντι ὧν λέγει, δίδωσιν ἃ χείλεσιν ἁπλῶς λέγει f.18 καὶ ὥς ἐκ συνηθείας μόνης *ὡς χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον*[2]; Διὰ τοῦτο κρατύνεται ἡ βασιλεία τοῦ διαβόλου καὶ ἡ ἐξουσία αὐτοῦ κατὰ τῶν χριστιανῶν· καὶ εὑρίσκονται ἐντεῦθεν καὶ μοναχοὶ καὶ κοσμικοὶ χριστιανοὶ ψεῦσται, λοίδοροι, διαβολεῖς, ἐπίορκοι, ζηλότυποι, φθονεροί, μεμψίμοιροι, καταλαλοῦντες, πλεονεκτοῦντες, ἅρπαγες, ἄδικοι, ὑποκριταί, πόρνοι, μοιχοί, ἀσελγεῖς, ἀκάθαρτοι, ὑπερήφανοι καὶ παράνομοι, καὶ ταῦτα καὶ λέγεσθαι καὶ εἶναι χριστιανοὶ καυχώμενοι· λαὸς ἀνόητος, ἀσύνετος, ἀπειθής, ἀχάριστος, ἄστοργος, ἄσπονδος[3], μισάνθρωπος, μισάδελφος, μισοπάτωρ, μισότεκνος, μισόφιλος καὶ τῷ Θεῷ μισητός. Οὐαὶ ὅταν οἱ τοιοῦτοι ψάλλουσι τῷ Θεῷ· οὐαὶ ὅταν προσεύχωνται τῷ Θεῷ· οὐαὶ ὅταν προσκυνοῦσι τῷ Θεῷ· οὐαὶ ὅταν ποιῶσιν ἐλεημοσύνας· οὐαὶ ὅταν προσφέρωσι δῶρα τῷ Θεῷ· καὶ γὰρ ᾠδὴ ἀσεβοῦς βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ, καὶ προσευχὴ ὀργίλου καὶ μνησικάκου ῥυπαρὰ δυσωδία· ἐλεημοσύνη ὑπερηφάνου κυνός ἐστιν ὁλοκάρπωσις, καὶ εὐποιΐα ἀκολάστου μίσθωμα πόρνης, πλεονέκτου δῶρον θυσία ἀκάθαρτος καὶ αἷμα ὕειον.

Ἀλλ᾽ ἐρωτήσει τις· καὶ τί δεῖ ποιεῖν τοὺς τοιούτους ἕτερον; Ποιήσει τούτων ἕκαστος τὸ ἀνῆκον αὐτῷ· ἐπιγνοὺς τὸ ἑαυτοῦ ἀνάξιον προσελεύσεται ἱερεῖ, κατηχηθήσεται δι᾽ αὐτοῦ τὸν λόγον τῆς ἀληθείας, ἄχρις ἂν ἀποκαλυφθῇ τούτῳ τὸ εὐαγγέλιον τῆς δικαιοσύνης· καὶ τότε τὴν χριστιανῷ προσήκουσαν ἀναλήψεται πολιτείαν. Δεῖ οὖν μαθεῖν πρότερον τί ἐστι τὸ *«δόξα ἐν*

[1] Cf. Marc 14, 21. [2] Cf. 1 Cor. 13, 1. [3] Cf. Rom. 1, 31.

**78** δὲ > $\mathrm{C}^{pc}$ M | ἐγενήθη B || **79—80** ἢ ἄγνοια, ἢ ἀναισθησία ] ἡ ἄ., καὶ ἡ ἀ. M || **80** οἶδε ] εἶδε G || **83** ἀλαλάζων A B || **86** λοίδωροι B | ζηλώτυποι B | μεμψίμηροι B || **89** καυχόμενοι C | ἀσύνετος ] *in marg.* B || **91** οἱ τοιοῦτοι ] οὗτοι B | οἱ > G | ψάλλωσι M || **92—93** οὐαὶ, ὅταν ποιῶσιν ἐλεημοσύνας· οὐαὶ, ὅταν προσφέρωσι δῶρα τῷ Θεῷ· οὐαὶ ὅταν προσκυνοῦσι τῷ Θεῷ· οὐαὶ ὅταν προσεύχωνται τῷ Θεῷ ~ M | προσεύχονται B C D || **94** ᾠδὴ ἀσεβοῦς ] ὁδοὶ ἀσεβῶν M | ἀσευοῦς B | βδέλιγμα B || **98** ἐρωτήσειέ τις M || **100** τῷ [ ἱερεῖ + M | καὶ [ κατηχηθήσεται + D || **102** τὸ > M

А у тех, кто не знает, чего просит у Бога, могут быть две [причины]: или неведение, или нечувствие. Кто в неведении, тот не знает, что говорит; а бесчувственный не знает, чего просит. Но кто из начальствующих подаст просящему помилования, но не знающему проявляемой к нему милости или не чувствующему того, о чем говорит, то, о чем он просит лишь устами и как бы только по привычке, подобно *меди звенящей или кимвалу звучащему*[1]? Поэтому имеют силу над христианами царство диавола и его власть. И поэтому оказываются и монахи, и мирские христиане лжецами, хулителями, клеветниками, клятвопреступниками, завистниками, недоброжелателями, ропотниками, злословящими, любостяжателями, похитителями, неправедными, лицемерами, блудниками, прелюбодеями, распутниками, нечистыми, гордецами и беззаконниками и при этом хвалящимися христианским званием и принадлежностью к христианам; люди неразумные, безрассудные, непокорные, неблагодарные, не имеющие любви, непримиримые[2], человеконенавистники, ненавидящие братьев, отца, детей, друзей и ненавистные Богу. Горе, когда таковые поют Богу, горе когда молятся Богу, горе, когда поклоняются Богу, горе, когда творят милостыню, горе, когда приносят дары Богу, потому что пение нечестивых — мерзость перед Богом, и молитва гневливого и злопамятного — гнусное зловоние, милостыня гордого — всесожжение псов, благодеяние распутника — плата блудницы, дар любостяжателя — жертва нечистая и кровь свиней.

Но спросит кто-то: «Что же еще делать таковым?» Пусть каждый из них делает то, что ему прилично: познав свое недостоинство, придет к священнику, примет от него оглашение в слове истины, пока не откроется ему Евангелие правды, и тогда воспримет он подобающий христианину образ жизни. И сначала надо узнать, что такое *«слава в вышних Богу и на земли мир, в человеках благоволение»*[3]. Какое

[1] Ср. 1 Кор. 13, 1. [2] Ср. Рим. 1, 31. [3] Лк. 2, 14. Также см. Великое, Малое Славословие на утрене.

*ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»*[1]. Τίς ἡ εὐδοκία; Τί τὸ *«Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν»*[2]; Τίς ἡ ἐπιφάνεια; Πᾶς γὰρ χριστιανὸς ὁ μὴ δοξάζων τὸν Θεὸν διὰ τῆς πράξεως τῶν αὐτοῦ προσταγμάτων καὶ f.18v τῆς φυλακῆς τῶν ἐντολῶν αὐτοῦ, οὐδὲν ἔλαττον ἔχει τῶν μὴ πιστευόντων εἰς Θεόν εἰ μὴ καὶ χείρων ἐκείνων ἐστίν. *«Εἰ γὰρ πατήρ εἰμι, — φησί, — ποῦ ἐστιν ἡ δόξα μου; Καὶ εἰ κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου;»*[3] Εὐδόκησε δὲ ὁ Θεὸς καὶ Πατὴρ τὴν ἐκ τῆς θείας ζωῆς ἐκπεσοῦσαν διὰ τὴν ἁμαρτίαν ἀνθρωπίνην φύσιν καὶ ἐχθρὰν αὐτῷ γενομένην ἀποκαταλλάξαι διὰ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ αὐτοῦ καὶ τῇ θείᾳ ζωῇ ταύτην πάλιν ἑνῶσαι, ὡς καὶ ὁ ἀπόστολός φησι· *«Δικαιωθέντες ἐκ πίστεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν*[4] διὰ τῆς κατὰ Χριστὸν πολιτείας. *Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ*[5]*· εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ δι' ἑαυτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τά ἐν τοῖς οὐρανοῖς· καὶ ἡμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατ' ἐνώπιον αὐτοῦ, εἴ γε καὶ ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος»*[6].

Χριστιανὸς γὰρ ὁ διὰ τῆς παραβάσεως τῶν ἐντολῶν τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἀνθιστάμενος καὶ πολεμῶν τῷ Θεῷ, ἐχθρός ἐστιν ἑαυτοῦ καὶ τοῦ Θεοῦ καὶ ἀδύνατον εἰρήνην ἔχειν αὐτὸν μετὰ Θεοῦ. Μέχρι γὰρ τότε ἐχθροὶ καὶ πολέμιοι τοῦ Θεοῦ καθεστήκαμεν, κἂν πιστῶν προσηγορίαν ἡμῖν αὐτοῖς περιπλάττωμεν, ἕως οὗ πάθεσιν ἀτιμίας δουλεύειν βουλόμεθα[7]. *«Ἐπεφάνη* f.19

[1] Luc. 2, 14. [2] Ps. 117, 27. [3] Cf. Mal. 1, 6. [4] Cf. Rom. 5, 1. [5] Eph. 2, 14. [6] Col. 1, 20–23. [7] Cf. *Maximus Confessor*. Epistolae. 24. (PG 91, 609A).

**103** Τίς ἡ εὐδοκία; ] *in marg.* B || **104** ἐπέφενεν C || **107** χεῖρον A D G || **110** ἀποκαταλάξαι B : ἀποκαταλλάξας G | ἐνανθρωπίσεως C || **111** ζωὴ B || **114–115** μεσότυχον A D B$^{ac}$ || **116–117** εἴτε τὰ — εἴτε τά — οὐρανοῖς ] τά τε ἐν οὐρανοῖς, τά τε ἐπὶ γῆς M || **117** τοῖς > D || **118** δὲ > M || **119** παραστήσας M | ἡμᾶς B M | αἰμώμους D || **120** κατενώπιον C : καθ' ἐνώπιον M | ἐπιμένεται D || **122** τῶν οὐρανῶν B || **126** τοῦ [ Θεοῦ + C

благоволение? Что такое *«Бог Господь и явился нам»*[1]? Что это за явление? Ведь каждый христианин, не прославляющий Бога исполнением Его повелений и хранением Его заповедей, ничем не отличается от неверующих в Бога, если не хуже их. *«Если Я Отец, то где почтение ко Мне?* — говорит [Бог], — *и если Я Господь, то где благоговение предо Мною?»*[2] Но благоволил Бог и Отец отпавший из-за греха от божественной жизни и ставший враждебным Ему человеческий род примирить [с Собой] через вочеловечение Сына Своего и вновь соединить ее с божественной жизнью, как говорит и апостол: *«Оправдавшись верою в Господа нашего Иисуса Христа, мы имеем мир с Богом через* жизнь по Христу[3]. *Ибо Он есть мир наш, соделавший из обоих одно и разрушивший стоявшую посреди преграду, упразднив вражду Плотию Своею*[4], *умиротворив через Него, Кровию креста Его, и земное и небесное. И нас, бывших некогда отчужденными и врагами, по расположению к злым делам, ныне примирил в теле Плоти Его, смертью Его, чтобы представить вас святыми и непорочными и неповинными пред Собою, если только пребываете тверды и непоколебимы в вере и не отпадаете от надежды благовествования, которое вы слышали, которое возвещено всей твари поднебесной, которого я, Павел, сделался служителем»*[5].

В самом деле, христианин, через преступление заповедей Евангелия Христова противящийся и враждующий против Бога, — враг и себе самому, и Богу, и невозможно ему быть в мире с Богом. Ведь до тех пор мы находимся в противлении и вражде с Богом, хотя и прикрываемся наименованием верных, пока желаем быть в рабстве у бесчестных страстей. *«Ибо явилась,* — говорит [апостол], — *спасительная*

[1] Пс. 117, 27. Также см. «Бог Господь» на утрене. [2] Ср. Мал. 1, 6. [3] Ср. Рим. 5, 1. [4] Еф. 2, 14. [5] Кол. 1, 20–23.

*γάρ*, — φησίν, — *ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι»*[1]· ὥστε ὁ μὴ εὐσεβῶς ζῶν, ἀσεβής· καὶ ὁ μὴ σωφρόνως καὶ δικαίως ζῶν, πόῤῥω τῆς ἐπιφανείας ἐστὶ τῆς σωτηρίου χάριτος τοῦ Θεοῦ, καὶ πῶς οὗτος χριστιανός; Εἰσερχόμενος δὲ εἰς ναὸν Κυρίου τί ἐρεῖ, εὐχαριστίαν ἢ αἴτησιν; Εἰ μὲν εὐχαριστίαν, ἑαυτὸν ἀπατᾷ μηδὲν ἔχων ὡς μὴ λαβὼν καὶ εὐχαριστῶν μάτην. Εἰ δὲ αἴτησιν, ποίαν· ἣν οὐκ οἶδε καὶ ἣν ἀγνοεῖ; Ὁ τοιοῦτος ἄχρηστος ὡς ἄπιστος καὶ νεκρὸς καὶ ἄθεος. Ἄπιστος ὅτι ἀνάστασιν οὐ παρεδέξατο, ψευδόμενος μάλιστα ὁπόταν λέγῃ· *«Ἀνάστασιν Χριστοῦ θεασάμενοι»*· αὐτὸς δὲ μετὰ τῶν νεκρῶν ἐστιν ἔτι, μὴ δεξάμενος τὴν παρὰ τοῦ Θεοῦ νοητὴν δρόσον, ἥτις ἐστὶ τοῖς νεκροῖς ἴαμα[2].

Ἀνάστασις γὰρ Χριστοῦ καὶ δόξα ἡ ἡμετέρα ὑπάρχει ἀνάστασις τῶν κάτω κειμένων ἡ διὰ τῆς ἐν ἡμῖν αὐτοῦ ἀναστάσεως γινομένη καὶ δεικνυμένη καὶ ὁρωμένη ἐν ἡμῖν, ὡς καὶ τὸ ἱερώτατον λέγει λόγιον, ὃ καθ᾽ ἑκάστην ἐπὶ στόματος φέρομεν· *«Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν Χριστὸν τὸν μόνον ἀναμάρτητον»*. Ἐκεῖνος γὰρ μὴ πεσὼν εἰς ἁμαρτίαν ποτέ, καθὰ γέγραπται, μὴ δὲ ἀλλοιωθεὶς τῆς ἰδίας δόξης κἂν ὁποσοῦν, πῶς ἀναστήσεταί ποτε ἢ δοξασθήσεται ὁ ἀεὶ ὢν ὑπερδεδοξασμένος καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας[3] διαμένων ὡσαύτως; Ἀλλ᾽ ἀνάστασις Χριστοῦ καὶ δόξα ἡ ἡμετέρα, καθάπερ εἴρηται, δόξα ὑπάρχει ἡ διὰ τῆς ἐν ἡμῖν αὐτοῦ ἀναστάσεως γινομένη καὶ δεικνυμένη καὶ ὁρωμένη ἐν ἡμῖν. Ἅπαξ γὰρ οἰκειωσάμενος τὰ ἡμέτερα, ἃ ποιεῖ ἐν ἡμῖν, αὐτὸς ταῦτα ἑαυτῷ ἐπιγράφεται. Καὶ ὥσπερ αὐτὸς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐπὶ σταυροῦ f.19$^{v}$
κρεμασθεὶς καὶ προσηλώσας ἐν ἑαυτῷ τὴν ἁμαρτίαν τοῦ κόσμου, θανάτου

[1] Cf. Tit. 2, 11–12. [2] Cf. Is. 26, 19. [3] Cf. Eph. 1, 21.

**129** σωτήριος + πᾶσιν ἀνθρώποις M || **130** *gl.* Ἀληθές A$^{mg}$ || **131** εὐσεβῶς$^{1}$ ] εὐσευῶς B | εὐσεβῶς$^{2}$ ] εὐσευῶς B | ἀσευὴς B || **132** δικαίως καὶ σωφρόνως ∼ M$^{ac}$ || **134** εὐχαριστίαν$^{1}$ ] εὐχαριστείαν G M | εὐχαριστίαν$^{2}$ ] εὐχαριστείαν G M || **135** μὴ δὲ M | ὡς ] ὁ C$^{ac}$ || **136** Ὁ τοιοῦτος ] ὅτι οὗτος B || **138** λέγει B D M || **139** νοητὴν ] *supra lin.* D || **142** τῆς ] τοῖς D || **144** φέρωμεν G || **146** ἰδίας ] θείας B || **147** ὁπωσοῦν M | ποτὲ *supra lin.* M || **148** ὑπὲρ ἄνω C | διαμένων ] μένων M || **150** γινομένην B || **151** *gl.* Πῶς ἡ ἀνάστασις γίνεται τῆς ψυχῆς. A$^{mg}$ B$^{mg}$ D$^{mg}$ || **152** αὐτὸς > D || **153** κρεμμασθεὶς G M | αὐτῷ D M

*благодать Божия, научающая нас, чтобы мы, отвергнув нечестие и мирские похоти, целомудренно, праведно и благочестиво жили в нынешнем веке»*[1]. Поэтому кто не живет благочестиво, тот нечестив, и кто не живет целомудренно и праведно, тот далек от явления спасительной благодати Божией, и как он [может быть] христианином? Что он произнесет, когда войдет в храм Господень, благодарение или прошение? Если благодарение, то он сам себя обманывает, поскольку ничего не получил и благодарит напрасно. Если же прошение, то какое? Которого сам не знает и не понимает? Таковой негоден, потому что он неверный, мертвец и безбожник. Неверный, поскольку он не воспринял воскресения и поэтому более всего лжет, когда говорит: «*Воскресение Христово видевше*»[2], хотя сам еще с мертвыми, потому что не принял умную росу, исходящую от Бога, которая есть исцеление для мертвых[3].

Ведь Христово воскресение и слава — это воскресение нас, лежащих, которое совершается через Его воскресение в нас, и проявляется и созерцается в нас, как говорит и священное выражение, которое каждый день у нас на устах: «*Воскресение Христово видевше, поклонимся святому Господу Иисусу, единому безгрешному*». И если Он никогда не впал в грех, как написано, и нисколько не изменился в Своей славе, то как Он воскреснет или прославится, будучи всегда препрославлен и пребывая неизменно превыше всякого начальства и власти[4]? Но воскресение Христово и Его слава, это, как было сказано, наша слава, которая приходит через Его воскресение в нас, и проявляется и созерцается в нас. Ведь после того, как Он однажды усвоил Себе наше [естество], все, что Он производит в нас, то Сам приписывает Себе. И как Сам Христос и Бог наш, повешенный на Кресте и пригвоздивший в Самом Себе грех мира, вкусил смерть и

[1] Ср. Тит. 2, 11–12. [2] См. последование воскресной утрени. [3] Ср. Ис. 26, 19. [4] Ср. Еф. 1, 21.

γευσάμενος καὶ κατελθὼν ἐν τοῖς κατωτάτοις τοῦ ᾅδου, εἶτα ἐξ ᾅδου πάλιν ἀνελθὼν εἰς τὸ ἄχραντον αὐτοῦ σῶμα εἰσῆλθεν, οὗ κατελθὼν ἐκεῖσε οὐδαμῶς ἐχωρίσθη· καὶ εὐθὺς ἀνέστη ἐκ τῶν νεκρῶν καὶ μετὰ ταῦτα ἀνῆλθεν εἰς οὐρανοὺς μετὰ δυνάμεως καὶ δόξης πολλῆς· οὕτω δὴ καὶ νῦν ἐξερχομένων ἡμῶν ἐκ τοῦ κόσμου καὶ εἰσερχομένων διὰ τῆς τῶν παθημάτων τοῦ Κυρίου ἐξομοιώσεως ἐν τῷ τῆς μετανοίας καὶ ταπεινώσεως μνήματι, αὐτὸς ἐκεῖνος ἐξ οὐρανῶν κατερχόμενος εἰσέρχεται ὥς ἐν τάφῳ ἐν τῷ ἡμῶν σώματι· καὶ ἑνούμενος ταῖς ἡμετέραις ψυχαῖς ἐξανιστᾷ νεκρὰς οὔσας ὁμολογουμένως αὐτάς.

Ἀνάστασις δὲ ψυχῆς ἡ ἕνωσίς ἐστι τῆς ζωῆς· ὡς γὰρ τὸ νεκρὸν σῶμα εἰ μὴ δέξηται ἐν ἑαυτῷ τὴν ζῶσαν ψυχὴν καὶ ἀμίκτως ταύτῃ μιγεῖ, ζῆν οὐ λέγεται οὐδὲ δύναται, οὕτως οὐδὲ ψυχὴ μόνη ζῆν αὐτῇ καθ' ἑαυτὴν δύναται εἰ μὴ ἀῤῥήτως καὶ ἀσυγχύτως ἑνωθῇ Θεῷ, τῇ ὄντως αἰωνίᾳ ζωῇ. Θεῷ δὲ ἑνωθεῖσα τηνικαῦτα βλέπειν ἐμπαρέχει τῷ οὕτως ἀναστάντι σὺν τῷ Χριστῷ τὴν δόξαν τῆς μυστικῆς αὐτοῦ ἀναστάσεως. Διὸ καὶ λέγομεν· *«Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν»*[1]· καὶ τὴν δευτέραν αὐτοῦ ὑποσημαίνοντες παρουσίαν, ἐπιφέροντες οὕτω λέγομεν· *«Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»*[2].

Ὁ δὲ μὴ θεασάμενος ταύτην τὴν ἀνάστασιν καθαρῶς, ἄπιστος καὶ ἄθεος ὢν καὶ νεκρός, οὐδὲ προσκυνεῖν δύναται ὡς ἅγιον καὶ Κύριον τὸν Χριστὸν Ἰησοῦν. *«Οὐδεὶς γάρ, — φησί, — δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»*[3]· καὶ ἀλλαχοῦ· *«Πνεῦμα ὁ Θεὸς καὶ Πατὴρ καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»*[4], τουτέστιν ἐν τῷ Ἁγίῳ Πνεύματι καὶ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ. Οὗτος δὲ ἄπιστός ἐστιν f.20
ὡς τὴν πίστιν διὰ τῶν ἔργων μὴ ἐπιδεικνύμενος· *πίστις* γὰρ κατὰ τὸν θεῖον ἀπόστολον *δίχα τῶν ἔργων νεκρά ἐστι καθ' ἑαυτὴν*[5] ὥσπερ καὶ τὰ ἔργα δίχα πίστεως. Νεκρὸς δὲ ὅτι τὸν ζωογονοῦντα Θεὸν οὐκ ἔχει ἐν ἑαυτῷ, ὅτι

[1] Ps. 117, 27. [2] Ps. 117, 26. [3] Cf. 1 Cor. 12, 3. [4] Cf. Joan. 4, 24. [5] Cf. Jac. 2, 26.

**154** ἐξάδου A B D || **160** τῷ [ τάφῳ + G || **164** αὐτῷ M | μιγῇ C G M || **165** αὐτὴ C G M || **166** αἰωνίῳ M || **167** τινηκαῦτα B : τινικαῦτα D | ἀναστήσαντι M || **169** τὴν > M | αὐτοῦ > M || **170** οὔτω B : οὕτως M | λέγωμεν M || **173** καὶ$^2$ > C || **174** φησίν D || **177** μονογενῆ A : ...ῆ C D || **178** *gl.* Τίς ὁ ἄπιστος. A$^{mg}$ B$^{mg}$ || **180** *gl.* Τίς ὁ νεκρός. A$^{mg}$ B$^{mg}$ G$^{mg}$ | αὐτῷ M

сошел в глубины ада, а затем опять восшел из ада и вошел в Свое пречистое тело, от которого нисколько не отлучался и когда сходил [в ад]; и тотчас воскрес из мертвых и после этого восшел на небеса с великой силой и славой, точно так же когда и мы исходим из мира и через уподобление страстям Господа входим в гроб покаяния и смирения, Сам Он, сходя с неба, входит, как в гроб, в наше тело и соединившись с нашими душами, воскрешает их, потому что, как все признают, они мертвы.

И воскресение души — это ее соединение с жизнью. Ведь если и мертвое тело не примет в себя живую душу и не смешается с ней несмешанно, то не может ни жить, ни называться живым. Так же и душа не может жить одна сама по себе, если не соединится неизреченно и неслитно с Богом, истинной вечной Жизнью. Но когда соединится с Богом, тогда дает возможность воскресшему таким образом со Христом видеть славу Его таинственного воскресения. Поэтому мы и говорим: «*Бог Господь и явился нам*»[1], и, указывая на Его второе пришествие, добавляем: «*Благословен грядущий во имя Господне*».[2].

Но кто не увидел ясно это воскресение, тот, оставаясь неверным, безбожником и мертвецом, не может даже поклоняться Иисусу Христу как Святому и Господу. Потому что [Писание] говорит: «*Никто не может назвать Иисуса Господом, как только Духом Святым*»[3] и в другом месте: «*Бог и Отец есть дух, и поклоняющиеся Ему должны поклоняться в духе и истине*»[4], то есть во Святом Духе и Его единородном Сыне. А этот [остается] неверным, поскольку не показал веру через дела, ведь вера без дел, согласно божественному апостолу, мертва сама по себе[5], так же как и дела без веры. Мертв же он потому, что не имеет в себе дарующего жизнь Бога, поскольку не

[1] Пс. 117, 27. [2] Пс. 117, 26. Также см. «Бог Господь» на утрене. [3] Ср. 1 Кор. 12, 3.
[4] Ср. Ин. 4, 24. [5] Ср. Иак. 2, 26.

τὸν εἰπόντα· *«Ὁ ἀγαπῶν με τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσει, καὶ ἐγὼ καὶ ὁ* Πατὴρ διὰ τοῦ Πνεύματος *ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιησόμεθα»*[1] οὐκ ἐκτήσατο ἐν ἑαυτῷ, ἵνα τῇ παρουσίᾳ αὐτοῦ ἐξαναστήσῃ αὐτὸν ἐκ νεκρῶν καὶ ζωοποιήσει αὐτὸν καὶ τὸν ἀναστάντα ἐν αὐτῷ καὶ αὐτὸν ἀναστήσαντα χαρίσηται κατιδεῖν. Ὅταν γὰρ ἐν ἡμῖν διὰ τοῦ Πνεύματος γένηται, ἀνιστᾷ ἐκ νεκρῶν τὰς ψυχὰς ἡμῶν καὶ ζωοποιῇ καὶ αὐτὸν ἐν ἡμὶν ὅλον ὁρᾶν ζῶντα δίδωσι τὸν ἀθάνατον καὶ ἀνώλεθρον. Πρὸ γὰρ τῆς ἐν γνώσει καὶ ὁράσει καὶ αἰσθήσει ἑνώσεως τοῦ Θεοῦ νεκρὰ καὶ τυφλὴ καὶ ἀναίσθητός ἐστιν ἡ ψυχή, εἰ καὶ νοερὰ ὑπάρχει καὶ τῇ φύσει ἀθάνατος. Ἄθεος δέ ἐστιν, ὅτι εἰ ἐπίστευσε κρίσιν Θεοῦ καὶ κόλασιν αἰώνιον ἔσεσθαι, τὴν ἑαυτοῦ ζωὴν οὐκ ἂν ἐν τοῖς ματαίοις ἀπησχόλει.

Νῦν δὲ τοιαύτην εἶναι τὴν ἀπώλειαν ἐν τοῖς τοιούτοις δοκεῖν, οἷαν οὐδὲ ἐν τοῖς ἔθνεσιν ἐν οἷς οὐκ ἐπεκλήθη τὸ ὄνομα τοῦ Θεοῦ, καὶ βαδίζουσιν ὀρθοὶ μὴ δὲ τοὺς πρὸ αὐτῶν κειμένους ὁρῶντες οἱ ἄθλιοι. Οὐκ εἰσὶν οἱ τοιοῦτοι χριστιανοί, μὴ ἀπατάσθωσαν, ουκ εἰσίν, ἀλλ᾽ ἀσεβεῖς καὶ ἄθεοι καὶ ἄπιστοι· καὶ μάλιστα εἰ μοναχοὶ ἢ ἱερεῖς, φεῦ! Εἰ δὲ καὶ ἀρχιερεῖς, ὢ τῆς ἀνοχῆς σου Χριστὲ καὶ τῆς μακροθυμίας[2], ὅτι οὐ σχίζεται ἡ γῆ καὶ καταπίνει ἡμᾶς! Εἴ τις τοιοῦτος, καὶ πῶς εἰς ναὸν Θεοῦ εἰσελεύσεται καὶ μάλιστα εἰς τὰ ἅγια τῶν ἁγίων; Γράφων γὰρ πρὸς κορινθίους ὁ ἀπόστολος βοᾷ λέγων· *«Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες καὶ* f.20v *ἄδικοι βασιλείαν Θεοῦ κληρονομήσουσι. Καὶ ταῦτα τινὲς ἦτε, — φησίν, — ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ᾽ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»*[3]. Ὁ γὰρ ἀπολουσάμενος καὶ ἁγιασθεὶς καὶ δικαιωθεὶς ἢ ἀκίνητός ἐστι πάντῃ πρὸς τὰ τοιαῦτα, ἢ

[1] Cf. Joan. 14, 23. [2] Cf. Rom. 2, 4. [3] Cf. 1 Cor. 6, 9–11.

**181** εἰπόντα + ὅτι M || **183** ἐξαναστήσει B || **184** ζωοποιήσῃ D G M || **185** χαρίσεται M | κατ᾽ ἰδεῖν D G || **186** ζωοποιεῖ M || **187** γὰρ ] δὲ G | τῆς ] τοῖς C || **188** τυφλὰ G || **189** εἰ$^{2}$ > $C^{ac}$ (*ins.* C) || **191** *gl.* Τίς ὁ ἄθεος. $A^{mg}$ $B^{mg}$ $G^{mg}$ | ἀπησχόλῃ C || **192** εἶναι ] οἶναι D || **194** κειμένους > M | οἱ$^{1}$ > D || **196** μάλλιστα D | εἰ ] οἱ B C D | *gl.* Ὅρα ὦ ἄθλιε ἱερεῦ. $G^{mg}$ || **198** ἐλεύσεται M | μάλλιστα D || **199** κορυνθίους $M^{ac}$ || **200** πλανᾶσθαι D | ...τε πόρνοι, οὔ... > $B^{ac}$ (*ins.* B) || **201** οὔτε κλέπται > M | οὐ λ. ] οὔτε λ. M || **202** βασιλείας G | κληρονομίσουσι A B D G | ἦτε ] εἶτε A B C || **203** τοῦ > M

стяжал в себе Сказавшего: «*Кто любит Меня, тот соблюдет слово Мое, и Я и Отец через Духа придем и обитель у него сотворим*»[1], чтобы Он Своим пришествием воскресил его из мертвых, оживил его и даровал ему видеть Воскресшего в нем и Воскресившего его. Ведь когда Он приходит в нас посредством Духа, то воскрешает наши души из мертвых и оживляет их и дает нам видеть Себя, бессмертного и невредимого, всецело живущим в нас. Потому что прежде соединения с Богом в разуме, зрении и чувстве, наша душа мертва, слепа и бесчувственна, хоть и является разумной и по природе бессмертной. А безбожник он потому, что если бы верил в то, что будет суд Божий и вечное наказание, не занял бы свою жизнь суетными делами.

Но сейчас кажется, что состояние таковых [христиан] настолько гибельно, что такого нет даже у язычников, у которых не призывалось имя Божие. Но они, несчастные, ходят прямо, не взирая даже на усопших прежде них. Нет, пусть они не заблуждаются, не христиане они, но нечестивцы, безбожники и неверные, а особенно когда они монахи или, увы, священники! А если даже архиереи, о каковы Твои кротость и долготерпение[2], Христе, что не разверзается земля и не поглощает нас! Если есть такой, то как он войдет в храм, а особенно — во святая святых? Ведь апостол, когда пишет коринфянам, вопиет: «*Не обманывайтесь: ни блудники, ни прелюбодеи, ни малакии, ни мужеложники, ни лихоимцы, ни воры, ни пьяницы, ни злоречивые, ни хищники и неправедные Царства Божия не наследуют. И такими были некоторые из вас,* — говорит он, — *но омылись, но освятились, но оправдались именем Господа нашего Иисуса Христа и Духом Бога нашего*»[3]. И кто омылся, освятился и оправдался, тот

[1] Ср. Ин. 14, 23. [2] Ср. Рим. 2, 4. [3] Ср. 1 Кор. 6, 9–11.

δυσκίνητος. Εἰ δὲ καὶ εὐκίνητος, δῆλός ἐστιν αὖθις καταρυπωθεὶς καὶ τοῦ λουτροῦ τῆς χάριτος γυμνός, καὶ τὴν δικαίωσιν ἀφαιρεθείς, καὶ διὰ ταῦτα τῆς ἐκκλησίας ἀφωρισμένος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ ἐδάφους καὶ ὅλως τῆς εἰσόδου τοῦ ναοῦ Κυρίου ἀνάξιος.

Τὸν τοιοῦτον οὖν ἕκαστος χαρακτῆρα εἰ κατανοῶν ᾖ ἐν ἑαυτῷ, φροντιζέτω περὶ τῆς οἰκείας σωτηρίας ἀκριβῶς εἰδώς, ὅτι τοῦ χριστιανισμοῦ ἐστιν ἔξω καὶ Χριστὸς αὐτὸν οὐδὲν ὠφελήσει, ἀλλὰ μετὰ τοῦ διαβόλου εἰς τὸ ἡτοιμασμένον ἐκεῖνο πῦρ πορευθήσεται. Εἰ μὴ γὰρ ἕκαστος τῶν χριστιανῶν ἐπιγνώσεται ὅτι ἀναχωνευθῆναι καὶ ἀναπλασθῆναι ὀφείλει διὰ τῆς νοουμένης Χριστοῦ ἰσχύος, καὶ ἀλλοιωθῆναι εἰς τὸ ἔνθεον, καὶ γενέσθαι καινὴ κτίσις καὶ νέος ἄνθρωπος, οὗ ἕνεκεν καὶ πίστις καὶ βάπτισμα, μάτην λέγεται χριστιανός.

Πᾶς γὰρ ὁ σωζόμενος ἢ λυτρούμενος, ἢ ἐλευθερούμενος, ἢ τιμώμενος, ἢ εὐεργετούμενος, ἢ πλουτιζόμενος, ὑφ’ ἑτέρου, οὐχ’ ὑφ’ ἑαυτοῦ τούτων ἑνὸς τυγχάνει. Ἀλλὰ καὶ πᾶς ὁ καταπεσὼν καὶ συντριβὴς ὑφ’ ἑτέρου καὶ βαστάζεται καὶ ἐγείρεται μὴ δυνάμενος ἑαυτὸν ἀναστῆσαι. Πλὴν εἰ ἔχει αἴσθησιν τοῦ πτώματος, τὸν ἀναστήσοντα ζητεῖ· καὶ εὑρὼν δυσωπεῖ καὶ παρακαλεῖ· ὑγιὴς δὲ γενόμενος εὐχαριστεῖ καὶ δοξάζει τὸν ἐγείραντα καὶ βαστάσαντα καὶ ἰατρεύσαντα. Τοῦτο πᾶς χριστιανός· πρὸ τῆς ὑγείας αἰτῶν τὸν ἰασόμενον, μετὰ τὴν ὑγείαν εὐχαριστῶν τῷ ὑγιάναντι. Εἰ δὲ μὴ ταῦτα, μάταια f.21
πάντα, μεθ’ ὧν καὶ αἱ μάτην ψαλμωδίαι κἂν τε πολλαί, κἂν τε ὀλίγαι.

**206** καταῤῥυπωθεὶς C M || **207** λουτροῦ + καὶ M$^{ac}$ (*cancel.* M) | δικαίωσιν ] δικαιοσύνην M | ἀφερεθείς B$^{ac}$ || **208** ἀφορισμένος G || **209** τοῦ ναοῦ τοῦ Κυρίου τῆς εἰσόδου ∼ M$^{ac}$ | ναοῦ > B | τοῦ [ Κυρίου + G M || **210** ᾖ ] ἢ A B || **212–213** ἡτοιμασμένων B || **213** ἕκαστα M || **215** τοῦ [ Χριστοῦ + M || **220** συντριβεὶς G M | ὑφ’ ἑτέρου + οὐχ’ ὑφ’ἑαυτοῦ τούτων ἑνὸς τυγχάνει G$^{ac}$ (*cancel.* G) | καὶ$^{3}$ > D || **221** ἑαυτῶν B | ἔσθησιν D || **225** ὑγειάναντι M || **226** μάτην ] μάταιαι M | ὀλίγαι + ὧσι M

или совсем неподвижен на такие дела, или малоподвижен. Но если он склонен [к таким делам], то ясно, что он опять осквернен, обнажен от омовения благодатью, лишился оправдания и поэтому отлучен от Церкви Христовой и от самой земли и совершенно недостоин входить в храм Божий.

Итак, каждый, кто будет замечать в себе такое свойство, пусть позаботится о своем спасении, зная наверняка, что он вне христианства, и Христос ему ничем не поможет, но пойдет он с диаволом в тот уготованный огонь. Потому что если не узнает всякий христианин, что ему следует переплавиться и быть созданным заново умопостигаемой силой Христа, измениться [и придти в состояние] обожения, стать новой тварью и новым человеком, для чего и вера, и Крещение, то тщетно он называется христианином.

Ведь всякий, кто бывает спасен или выкуплен, или получает свободу или честь, благодеяния или богатство, получает все это от другого, а не от себя одного. Так же и всякого упавшего и разбившегося другой и поднимает, и восставляет, потому что сам себя восставить он не может. Но если чувствует он свое падение, то ищет того, кто его восставит. И когда найдет, то молит и просит его. А когда станет здоров, благодарит и прославляет восставившего, поднявшего и исцелившего. И таков всякий христианин: прежде выздоровления он просит Того, кто может его исцелить, после выздоровления благодарит сделавшего его здоровым. А если не так, то все напрасно, в том числе и тщетное псалмопение, хоть большое, хоть малое.

## БИБЛИОГРАФИЯ

Болотов 1918 — *Болотов В. В.* История Древней Церкви: в 4 т. Т. 4. История Церкви в период Вселенских соборов / Под ред. А. И. Бриллиантова. Пг., 1918. [*Bolotov V. V.* Istoriia Drevnei Tserkvi: v 4 tomakh. Tom 4. Istoriia Tserkvi v period Vselenskikh soborov (History of the Ancient Church: in 4 vols. Vol. 4. History of the Church during the Ecumenical Councils) / Pod redaktsiei A. I. Brilliantova. Petrograd, 1918.]

Иларион (Алфеев), еп. 2008 — *Иларион (Алфеев), еп.* Прп. Симеон Новый Богослов и православное Предание. СПб., 2008. [*Hilarion (Alfeev), bishop.* Prepodobnyi Simeon Novyi Bogoslov i pravoslavnoe Predanie (St. Simeon the New Theologian and Orthodox Tradition). Saint Petersburg, 2008.]

Devreesse 1945 — *Devreesse R.* Le fonds Coislin: Catalogue des manuscrits grecs. P., 1945. Vol. 2.

Eustratiades 1924 — *Eustratiades A.* Catalogue of the Greek manuscripts in the Library of the Monastery of Vatopedi. P., 1924.

Gouillard 1973 — *Gouillard J.* Constantin Chrysomallos sous le masque de Syméon le Nouveau Théologien // Travaux et mémoirs. P., 1973. Vol. 5. P. 313–327.

Gouillard 1978 — *Gouillard J.* Quatre procès de mystiques à Byzance (vers 960–1143). Inspiration et autorité // REB. 1978. Vol. 36. P. 5–81.

Hajdú 2003 — *Hajdú K.* Katalog der griechischen Handschriften der Bayerischen Staatsbibliothek München. Bd. 3. Codices graeci Monacenses 110–180. Wiesbaden, 2003 (Catalogus codicum manuscriptorum Bibliothecae Monacensis 2. 3).

Hardt 1812 — *Hardt I.* Catalogus codicum manuscriptorum graecorum Bibliothecae regiae Bavaricae. München, 1812. Vol. 2.

Kambylis 1976 — *Symeon der Neue Theologe.* Hymnen / Ed. A. Kambylis. B. — New York, 1976 (Supplementa Byzantina 3).

Martini, Bassi 1906 — *Martini E., Bassi D.* Catalogus codicum graecorum Bibliothecae Ambrosianae. Milano, 1906. Vol. 1.

Omont 1891 — *Omont H.* Supplément au Catalogue des manuscrits grecs des bibliothèques de Suisse // Zentralblatt für Bibliothekwesen. Leipzig, 1891. Bd. 8. S. 22–26.

Parrinello 2008 — *Parrinello R. M.* Santità, eresia e politica a Bizanzio nel XII secolo. Constantino Crisomallo, il falso bogomilo. Brescia, 2008.

## ИСТОЧНИКИ И ПЕРЕВОДЫ

Творогов 2016 — *Симеон Новый Богослов, прп*. Слова 1, 2 из корпуса «33 Слов» (Orationes [Dub.]) / Крит. текст, пер. с греч., предисловие А. С. Творогова // БВ. 2016. № 22–23. Вып. 3–4. С. 380–407. [*Simeon Novyi Bogoslov, prepodobnyi*. Slova 1, 2 iz korpusa «33 Slov» (Orationes [Dub.]) (Homilies 1 & 2 from the corpus of "33 Homilies" (Orationes [Dub.])) / Kriticheskii tekst, perevod s grecheskogo, predislovie A. S. Tvorogova // Bogoslovskii vestnik (Theological Herald). 2016. № 22–23. Vypusk 3–4. P. 380–407.]

Ἀλφαβητικὰ κεφάλαια 2005 — *Συμεὼν ὁ Νέος Θεολόγος*. Ἀλφαβητικὰ κεφάλαια / Εἰσαγωγή, Κείμενο, Νεοελληνικὴ ἀπόδοση ἀπὸ Μοναχοὺς τῆς Ἱερᾶς Μονῆς Σταυρονικήτα. Ἅγιον Ὄρος, 2005.

Catéchèses 1963, 1964, 1965 — *Syméon le Nouveau Théologien*. Catéchèses / Introd., texte critique et notes par B. Krivochéine. Trad. par J. Paramelle. P., 1963, 1964, 1965 (SC 96 [Cat. 1–5], 104 [Cat. 6–22], 113 [Cat. 23–34]).

Ettlinger 1975 — *Theodoret of Cyrus*. Eranistes / Ed. G. H. Ettlinger. Oxford, 1975.

Gallay 1974 — *Grégoire de Nazianze*. Lettres théologiques / Ed., trad. par P. Gallay. P., 1974 (SC 208).

Kotter 1981 — *Johannes von Damaskos*. Die Schriften des Johannes von Damaskos / Ed. B. Kotter. B., 1981. Bd. 4 (PTS 22).

*Abstract*

***Saint Simeon the New Theologian*. Homilies 3, 4 from the corpus of "33 Homilies" (Orationes [Dub.]) / Critical text, translation from Greek, foreword by *A. S. Tvorogov***

In this publication the reader is presented with the editio princeps of the Greek text and the Russian translation of the third and fourth Sermons of the Corpus of "33 Homilies" (*Orationes* or *Or.*), attributed in the manuscript tradition to Simeon the New Theologian. The main theme of the Corpus is the spiritual birth and the growth of the Christian, his sanctification and transfiguration by divine grace. Most of the body is a compilation of the works of St. Simeon, however, fifteen Homilies, which make up about 40 % of the total volume of the corpus, are original. The Greek text of Homilies was not previously published; only a complete Latin translation was made, based on the late (XVI century) manuscript, and the Greek translation of individual Homilies. Attribution of the original part of "33 Homilies" by modern researchers

is questioned, since it contains expressions attributed to Constantine Chrysomallus, convicted in the middle of the XII century for Bogomil and Messalian views. In the proposed publication, the Greek text and discrepancies are given on the basis of the six most important manuscripts, the earliest of which dates from the late XI — early XII century. The publication includes a table of common fragments of published Sermons and other works of St. Simeon.

*Keywords:* Simeon the New Theologian, Constantine Chrysomallus, critical text, asceticism, messalians, Bogomils, Baptism, grace, Orationes.